# TEZAUR LITURGIC

## 4 APRILIE

APOSTOLOS PAPAHRISTOUS

# PARACLISUL SF.CUVIOS IOSIF IMNOGRAFUL

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 04 ΑΠΡΙΛΙΟΣ
# ΙΩΣΗΦ ΥΜΝΟΓΡΑΦΟΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Ἀποστόλου Παπαχρήστου**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ᾽ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ᾽ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α᾽. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β᾽. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ᾽. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῷ ὑμνογράφῳ Ἰωσὴφ νῦν προσδράμωμεν, οἱ ἐν δεινοῖς καὶ πειρασμοῖς κινδυνεύοντες, καὶ πρὸς αὐτὸν βοήσωμεν· παμμάκαρ Ἰωσήφ, σκέπε καὶ διάσωζε ἀπὸ πάσης ἀνάγκης, κακῶν ἡμᾶς καὶ θλίψεων καὶ αἱρέσεων πάντας, ταῖς πρὸς Θεὸν πρεσβείαις σου σοφέ, ἵνα ἐν πίστει ἀεί σε γεραίρομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν' (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἰωσήφ, δός μοι χάριν καὶ ῥῶσιν, Ἀποστόλῳ.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ἰάσεων πέλοντι τὴν πηγήν, Θεῷ τῷ ὑψίστῳ παριστάμενος Ἰωσήφ, ἰάσεις πάρασχου τοῖς σοῖς δούλοις, ταῖς πρὸς Αὐτὸν εὐπροσδέκτοις πρεσβείαις σου.

Ὡράθης ἀστὴρ ὥσπερ φαεινός, φωτίζων τὴν θείαν Ἐκκλησίαν τῷ σῷ φωτί· διὸ σκοτισθέντα με πταισμάτων, ὦ Ἰωσὴφ φωταγώγησον δέομαι.

Σωτῆρι τῶν ὅλων καὶ Ποιητῇ, καὶ πάντων Δεσπότῃ παριστάμενος Ἰωσήφ, Αὐτὸν οὖν δυσώπει πᾶσι δοῦναι, τὴν σωτηρίαν τοῖς δούλοις σου Ὅσιε.

*Θεοτοκίον.*

Ἡ πάναγνος Κόρη ἡ τὸν Θεόν, ἀσπόρως τεκοῦσα ῥῦσαι πάντας ἐκ πειρασμῶν, ἡμᾶς καὶ πταισμάτων τοὺς ἐν πίστει, Θεοῦ Μητέρα γινώσκοντας ἄχραντε.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Φοιτητάς σου ἐξ ὕψους νῦν ἐφορῶν Ἅγιε, δέχου ἀνυμνοῦντάς σοι Πάτερ καὶ ἀνακράζοντας· ῥῦσαι δεινῶν ἡμᾶς καὶ πάσης θλίψεως, ὅπως σὲ προστάτην ἅπαντες ἡμεῖς γινώσκομεν.

Δίδου κόσμῳ εἰρήνην ταῖς σαῖς εὐχαῖς Ὅσιε, παῦσον Ἐκκλησίας αἱρέσεις τε καὶ τὰ σκάνδαλα, ἵνα χαρᾶς πολλῆς πάντες πλησθέντες βοῶμεν· χαῖρε Ἰωσὴφ σοφέ, ἡ προστασία ἡμῶν.

Ὅλος Πάτερ δεδούλωμαι, τοῖς δεινοῖς δαίμοσιν, ὅλως τούτων παίγνιον γέγονα, καὶ περίγελως· διὸ ἐξάρπασόν με, σαῖς θερμαῖς ἱκεσίαις, Ἰωσὴφ Πατὴρ ἡμῶν, ἐκ τῶν χειρῶν αὐτῶν.

*Θεοτοκίον.*

Σῷζε πάντας Παρθένε, τοὺς Σοὶ πιστῶς κράζοντας· χαῖρε προστασία καὶ σκέπη, ἡμῶν καὶ καύχημα· χαῖρε ἀνόρθωσις, τῶν πεπτωκότων εἰς χάος· χαῖρε θρόνε πύρινε, τοῦ Παντοκράτορος.

Διάσωσον, ἀπὸ δεινῶν καὶ κινδύνων σοὺς δούλους Πάτερ, ὅτι πάντες ὦ Ἰωσὴφ πρὸς σὲ καταφεύγομεν, ὡς στήριγμα πάντων καὶ προστασίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτην θερμὸν πλουτοῦμέν σε Πατὴρ ἡμῶν, κλεινὲ Ἰωσὴφ βοῶντες καθικέτευε, τὸν Θεὸν καὶ Κύριον, λυτρωθῆναι ἅπαντας ἐκ θλίψεων, καὶ ἐκ δεινῶν αἱρέσεων ἀεί, φυλάττεις γὰρ τοὺς τιμῶντάς σε.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Μολυσμὸς ἐγὼ γέγονα, γῆς τε καὶ ἀέρος ταῖς ἁμαρτίαις μου· ὅθεν κάθαρόν με δέομαι, Ἰωσὴφ ταῖς θείαις ἱκεσίαις σου.

Ὅλος φῶς ἐχρημάτισας, ὅλος τῷ Θεῷ σοφὲ ἀνακείμενος· ὅθεν ὅλον με τοῖς πάθεσι, δουλωθέντα Πάτερ ἐλευθέρωσον.

Ἵνα τύχωμεν Ὅσιε, τῆς σῆς εὐφροσύνης πάντες ἱκέτευε, Ἰωσὴφ τὸν ὑπεράγαθον, δοῦναι τῶν πταισμάτων ἡμῖν ἄφεσιν.

*Θεοτοκίον.*

Χαρὰ πέφηνας πάναγνε, πᾶσι τὴν χαρὰν Χριστὸν κυήσασα· ὅθεν δέομαί Σου πλήρωσον, χαρᾶς αἰωνίου τὴν καρδίαν μου.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ἄνεσις σοφέ, οὐχ ὑπάρχει τῇ καρδίᾳ μου, ἐξ ἀπείρων μου κακῶν καὶ δεινῶν· διὸ τὴν ἄνωθέν μοι, δὸς ἄνεσιν δέομαι.

Ῥῶσι τοῖς πιστοῖς, πᾶσι γέγονας Πατὴρ ἡμῶν, τῶν ψυχῶν αὐτοῖς ὁμοῦ καὶ σωμάτων, ὦ Ἰωσὴφ ἡμῶν, ἡ χαρὰ καὶ τὸ καύχημα.

Ἵλεων ἡμῖν, τὸν Κριτὴν Πάτερ ἀπέργασαι, ἐν τῇ ἐσχάτῃ ὥρᾳ Ὅσιε, ὅταν καθίσῃ κρίναι πάντας ὁ ἀδέκαστος.

*Θεοτοκίον.*

Νέον ὦ ἁγνή, τὸν Θεὸν ἡμῶν ἐγέννησας, ὥσπερ παιδίον Ὃν ἱκέτευε, παλαιωθέντα τῇ ἁμαρτίᾳ, καινουργῆσαί με.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Κινδύνοις, περιπεσὼν μακάριε, καὶ κακώσεσι ποικίλαις τοῦ βίου, καὶ ἐν δεινοῖς καὶ ἀνάγκαις ὑπάρχων, ἐν ἀπορίᾳ καὶ ζάλῃ συνέχομαι· ἀλλ’ εὕροιμί σε βοηθόν, Ἰωσὴφ καὶ προστάτην καὶ ῥύστην μου.

Ἀπόλλυμαι, ἐξ ἐμῆς ἀμελείας, καὶ τοῦ πλήθους τῶν πολλῶν μου πταισμάτων, καὶ ἐπὶ γῆς ὁ πολύμορφος ὄφις, ὥσπερ ἀνίατον βλέπει με Ὅσιε, καυχᾶται ἐπ’ ἐμοὶ σοφέ, Ἰωσήφ· διὸ πρόφθασον σῶσόν με.

Ἰάσεων, τῇ πηγῇ δεῦτε πάντες, τῇ Εἰκόνι τοῦ κλεινοῦ ὑμνογράφου, δράμωμεν νῦν οἱ ἐν νόσοις παντοίαις, καὶ ἀνιάτοις δεινῶς κινδυνεύοντες, καὶ κράξομεν ὦ Ἰωσήφ· σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου.

*Θεοτοκίον.*

Ῥομφαίαν, τὴν κατ’ ἐμοῦ στρεφομένην, τοῦ δεινοῦ ἀρχεκάκου βελίαρ, πρόφθασον νῦν καὶ ἀπόστρεψον Κόρη, τὸν ὀλετῆρα αὐτοῦ ἡ κυήσασα, καὶ δεῖξόν με ὢ ἀγαθή, τῆς αὐτοῦ κακουργίας ἀπρόσβλητον.

Διάσωσον, ἀπὸ δεινῶν καὶ κινδύνων σοὺς δούλους Πάτερ, ὅτι πάντες ὢ Ἰωσὴφ πρὸς σὲ καταφεύγομεν, ὡς στήριγμα πάντων καὶ προστασίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Προστασία τῶν σῶν ὑμνητῶν Πάτερ γέγονας, καὶ βοήθεια τῶν προστρεχόντων σοι πέφηνας, μὴ ἐλλίπῃς ἡμᾶς φρουρῶν παμμάκαρ Ἰωσήφ· ἀλλὰ δὸς ἡμῖν πρὸς τὸν Θεόν, ὡς σὺ ἐκραύγαζες Αὐτῷ, οὕτω καὶ νῦν βοᾶν ἡμᾶς σοφέ· τάχυνον ὡς οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Προκείμενον: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Εὐαγγέλιον, Ὁσιακόν.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ὅλος ἐκ νεότητος, ἀνατεθεὶς τῷ Κυρίῳ, ὅλος ἐχρηματίσας, φῶς τῇ κατοικήσει ἐν σοὶ τοῦ Πνεύματος, Ἰωσὴφ πάντιμε, ὑμνογράφων κλέος, Ὀρθοδόξων ἐγκαλλώπισμα, ἡμῶν τὸ στήριγμα, σῶζε οὖν ἡμᾶς ταῖς πρεσβείαις σου, δεινῶν καῖ ἐξ αἱρέσεων, καὶ ἐχθρῶν ἀπείρων τὴν ποίμνην σου, ἵνα ὡς προστάτην, ὑμνῶμέν σε σοφὲ διηνεκῶς, καὶ ἐν ἡμέρᾳ τῆς Κρίσεως, βοηθόν σε ἔχωμεν.

*Ωδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὡραιώθης παμμάκαρ ταῖς ὡραίου τῷ κάλλει Χριστοῦ μεθέξεσιν, ᾧ πρέσβευε ὡραίαν, τὴν δύσμορφον ψυχήν μου, ἀπεργάσαι κραυγάζοντα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σὺ προστάτης μου πέλεις Ἰωσὴφ θεοφόρε σύ μου καὶ καύχημα, σὺ φύλαξ μου διώκτης, δαιμόνων τε καὶ πλάνης, ἐξ ὧν ῥῦσαί με κράζοντα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἵνα χαίρων θεόφρον ψυχικὴν καὶ τοῦ σώματος δός μοι ἴασιν, πολίτην Παραδείσου, ποιήσας με τοῦ ψάλλειν, σὺν σοὶ ὡς ἐκ σοῦ ἔμαθον· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*Θεοτοκίον.*

Ναὸς Σὺ εἶ Παρθένε καὶ Θεοῦ Μήτηρ· ὅθεν ναόν με ποίησον, Τριάδος ὑπερθέου, ἐν πίστει μελῳδοῦντα, τῷ

ναῷ Σου γηθόμενος· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ἀπὸ σκανδάλων, ἀπὸ βελῶν τοῦ δολίου, πολεμήτορος Ἰωσὴφ τρισμάκαρ, ῥῦσαί με ὑμνοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ποῦ νῦν προσδράμω, ποίαν παράκλησιν εὕρω ποῦ προσφύγω Ἰωσὴφ θεόφρον, εἰ μὴ πρὸς σὲ Χριστῷ, τῷ συνόντι εἰς αἰῶνας.

*Τριαδικόν.*

Ὁ ἄναρχος, Πατὴρ Υἱὸς καὶ τὸ Πνεῦμα, ταῖς λιταῖς Ἰωσὴφ τοῦ ὑμνογράφου, σῶσόν με ὑμνοῦντα, Σὲ Σῶτερ εἰς αἰῶνας.

*Θεοτοκίον.*

Σὺ νέκρωσις ᾅδου, Σὺ σκέπη τοῦ κόσμου, Σὺ νυμφὼν εἶ ὁλόφωτος Παρθένε, σῶσόν με ὑμνοῦντα, Σὲ Κόρη εἰς αἰῶνας.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Τί δῶρόν σοι προσάξω, ἀνθ’ ὧν μοι ἐδωρήσω, ᾀσμάτων σῶν Ἰωσήφ, τῶν ὠθούντων με, πρὸς κατανύξεως τρόπους καὶ θεῖον ἔρωτα.

Οἱ Ἅγιοι ἰδόντες, ἐν οὐρανοῖς ἐλθόντα, οἱ ὑπὸ σοῦ ὑμνηθέντες ὑπήντησαν, σὲ Ἰωσὴφ μεθ’ ὧν σκέπε καὶ φρούρει ἅπαντας.

Λιταῖς σου Ἐκκλησία, ὁμόνοιαν εἰρήνην, τῇ οἰκουμένῃ καὶ βίου διόρθωσιν, ὦ Ἰωσὴφ δὸς τοῖς πίστει σοὶ καταφεύγουσιν.

*Θεοτοκίον.*

Ὑμνῶ Σε ἀσιγήτως, ἐν πίστει μεγαλύνω, τὰ μεγαλεῖά Σου Κόρη ὥς μοι ὑπέδειξεν, ὁ Ἰωσὴφ μεθ᾽ οὗ σῷζε πάντας πανύμνητε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Λύραν παναρμόνιον τοῦ Πατρός, Υἱοῦ τὴν κινύραν, καὶ τοῦ Πνεύματος τὸνα ὑλόν, Ἰωσὴφ τὸν θεῖον, ὡς μύστην τῆς Τριάδος, καὶ ὑμνογράφον πάντες, ὕμνοις τιμήσωμεν.

Χαίροις τῆς Τριάδος ὁ λατρευτής, καὶ τῆς Ἐκκλησίας, Ἰωσὴφ ὁ καθηγητής· χαίροις μοναζόντων, ἀστὴρ καὶ ὑμνογράφων, ὁ πρύτανις σοφίας, τῆς θείας ἔμπλεως.

Σκέπε Πάτερ Ὅσιε Ἰωσήφ, τοὺς ἐν ἐξορίαις, ἐν κινδύνοις καὶ φυλακαῖς, σῷζε ἀνιάτων, πληθὺν καὶ ἐκ δαιμόνων, δεινῶς ἐνοχλουμένους, θείαις πρεσβείαις σου.

Χαίροις Σικελίας γόνος λαμπρός, καὶ βασιλευούσης, ὁ ἀσύλητος θησαυρός· χαίροις Ἐκκλησίας, τὸ καύχημα τὸ μέγα, ὦ Ἰωσὴφ τρισμάκαρ, σκέπε τοὺς δούλους σου.

Χαίροις Ὀρθοδόξων ἡ ἀστραπή, καὶ τῶν κακοδόξων, καθαιρέτης καὶ ὀλετήρ· χαίροις τῶν Εἰκόνων, ὑπέρμαχος διώκτης, εἰκονομάχων χαῖρε, ὦ Ἰωσὴφ σοφέ.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι᾿ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β᾿. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντες, σοὶ προσπίπτομεν θερμῶς, Πάτερ Ἰωσὴφ οἱ κινδύνοις, καὶ ἁμαρτίαις πολλαῖς, δεινῶς βυθιζόμενοι καὶ οἱ ὀχλούμενοι, ἐκ δαιμόνων καὶ ἄῤῥωστοι, ἀνίατοι ὄντες, πάντες οἱ ἐν θλίψεσι, καὶ ἐκβοῶμέν σοι· δὸς ἡμῖν ἑκάστῳ τὴν λύσιν, καὶ ἐκ δεξιῶν Χριστοῦ στῆναι, πάντας καταξίωσον ἀοίδιμε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾿ εὐχῶν.*

